θεοῦ φιλανθρωπίαν, ἣν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύτην τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι, καὶ ὁμιλίας τῆς ἑαυτοῦ; Θεῷ γὰρ ἀληθῶς λαλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς, δι᾽ ἧς καὶ τοῖς ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες. ἀγγέλων γὰρ ἔργον ἡ προσευχὴ, καὶ ὑπεραίρουσα καὶ τὴν ἐκείνων ἀξίαν. εἴπερ κρεῖττόν ἐστι τῆς τῶν ἀγγέλων ἀξίας τῷ θεῷ διαλέγεσθαι. ἀλλ᾽ ὅμως ὅτι καὶ κρεῖττόν ἐστιν, αὐτοὶ διδάσκουσιν ἡμᾶς. σὺν πολλῷ φόβῳ τὰς εὐχὰς προσφέροντες, παρέχοντες δὲ ἡμῖν εἰδέναι καὶ μανθάνειν, ὅτι προσήκει τῷ θεῷ προσιόντας σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν. φόβῳ μὲν δεδοικότας μὴ τῆς προσευχῆς ἀνάξιοι φανῶμεν, χαρᾶς δὲ μεστοὺς γινομένους ἐπὶ τῷ με-

*quis non admiretur, quis non suspiciat, quam nobis ostendit; cùm tantum honorem hominibus deferat, vt eos precatione, ac suâ consuetudine dignetur? Etenim cũ Deo re verâ, precationis tẽpore colloquimur, quâ cum Angelis quoq; coniungimur, qua longè à pecudũ communione recedimus. Angelorũ est enim precatio, quæ vel eorum superat dignitatẽ: si quidẽ cum Deo loqui, præstantius quiddã est, Id tamẽ ipsi nos docent, q magno timore preces offerunt: nosq; admonent, nobis, q ad Deum accedimus, timorẽ esse simul & lætitiam adhibendam: timendum quidẽ, verentibus, ne precatione indigni esse videamur: lætitia nos tamẽ ex honoris magnitudine perfundi oportere,*

Dignitas orationis quanta.

 *quod*